D πιθανὴν καὶ τῷ καιρῷ μᾶλλον αὐλοῦ καὶ βαρβίτου πρέ-
πουσαν ἔχοντας. ὧν καὶ τὸ πρῶτον ἡμῖν βιβλίον εἶχε
μεμιγμένα δείγματα, τοῦ μὲν προτέρου γένους τὸ περὶ
τοῦ φιλοσοφεῖν παρὰ πότον καὶ περὶ τοῦ διανέμειν αὐτὸν
ἢ τοῖς δειπνοῦσιν ἐφιέναι τὰς κλίσεις ⟨καὶ τὰ τοι⟩αῦτα·
τοῦ δὲ δευτέρου περὶ τοῦ τοὺς ἐρῶντας ποιητικοὺς εἶναι
καὶ περὶ τῆς Αἰαντίδος φυλῆς. . . . καλῶ δῆτα καὶ . . .
τὰ συμποτικά· τὰ δ' . . . τερα κοινῶς συμποσιακά. σπο-
ράδην δ' ἀναγέγραπται καὶ οὐ διακεκριμένως ἀλλ' ὡς
ἕκαστον εἰς μνήμην ἦλθεν. οὐ δεῖ δὲ θαυμάζειν τοὺς ἀνα-
γινώσκοντας, εἴ σοὶ προσφωνοῦντές τινα τῶν προρρη-
E θέντων [ἢ] ὑπὸ σοῦ συνηγάγομεν· καὶ γὰρ ἂν αἱ μαθήσεις
ἀναμνήσεις μὴ ποιῶσιν, πολλάκις εἰς ταὐτὸ τῷ μανθάνειν
τὸ ἀναμιμνήσκεσθαι καθίστησιν.

## ΠΡΟΒΛΗΜΑ Α

*Τίν' ἐστὶν ἃ Ξενοφῶν παρὰ πότον ἥδιον ἐρωτᾶσθαί φησι καὶ σκώπτεσθαι ἢ μή*

Collocuntur Sossius Senecio et Plutarchus

**1.** Δέκα δὲ προβλημάτων εἰς ἕκαστον νενεμημένων βιβλίον, ἐν τούτῳ πρῶτόν ἐστιν ὃ τρόπον τινὰ Ξενοφῶν ὁ Σωκρατικὸς ἡμῖν προβέβληκεν. τὸν γὰρ Γωβρύαν